**Algemeen humanitair karakter van de wet**
Alle aparte wetsbepalingen zijn stuk voor stuk lessen in billijkheid.

**Josephus, Contra Apionem II 211-214**

**211.** Τἆλλα• προείρηκεν, ὧν ἡ μετάδοσίς ἐστιν ἀναγκαία· πᾶσι• παρέχειν• τοῖς δεομένοις πῦρ ὕδωρ τροφήν, ὁδοὺς• φράζειν, ἄταφον• μὴ περιορᾶν, ἐπιεικεῖς• δὲ καὶ• τὰ πρὸς πολεμίους κριθὲντας εἶναι. **212.** οὐ• γὰρ ἐᾷ τὴν γῆν αὐτῶν πυρπολεῖν οὐδὲ τέμνειν ἥμερα δένδρα, ἀλλὰ καὶ σκυλεύειν ἀπείρηκε• τοὺς ἐν τῇ μάχῃ πεσόντας καὶ τῶν• αἰχμαλώτων προυνόησεν, ὅπως αὐτῶν• ὕβρις ἀπῇ, μάλιστα δὲ γυναικῶν. **213.** οὕτως δ' ἡμερότητα• καὶ φιλανθρωπίαν ἡμᾶς εξεπαίδευσεν, ὡς• μηδὲ τῶν ἀλόγων ζῴων ὀλιγωρεῖν, ἀλλὰ μόνην ἐφῆκε• τούτων• χρῆσιν τὴν νόμιμον, πᾶσαν δ' ἑτέραν ἐκώλυσεν· ἃ• δ' ὥσπερ• ἱκετεύοντα προσφεύγει• ταῖς οἰκίαις ἀπεῖπεν ἀνελεῖν. ούδὲ νεοττοῖς• τοὺς γονέας αὐτων ἐπέτρεψε συνεξαιρεῖν, φείδεσθαι• δὲ κἀν• τῇ• πολεμίᾳ τῶν• ἐργαζομένων ζῴων καὶ μὴ φονεύειν. **214.** οὕτω πανταχόθεν τὰ πρὸς ἐπιείκειαν περιεσκέψατο, διδασκαλικοῖς• μὲν τοῖς προειρρημένοις• χρησάμενος νόμοις, τοὺς• δ' αὖ κατὰ τῶν παραβαινόντων τιμωρητικοὺς• τάξας ἄνευ προφάσεως.